## **Ξενοφώντας, *Κύρου Ἀνάβασις*, 4, 5, 3 – 7**

Ο Ξενοφών ήταν ανάμεσα στους Έλληνες μισθοφόρους που ακολούθησαν το 401 π.Χ. τον Κύρο στην εκστρατεία του προς την πρωτεύουσα της Περσικής Αυτοκρατορίας, Σούσα, με στόχο την ανατροπή του Πέρση βασιλιά Αρταξέρξη, αδελφού του Κύρου. Η εκστρατεία έληξε άδοξα, όταν σκοτώθηκε ο Κύρος. Ο Ξενοφών περιγράφει ως αυτόπτης μάρτυρας την εκστρατεία και τις περιπέτειες της επιστροφής των Μυρίων.

Ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα. Ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκαίων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους. Ἔνθα δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξεν λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. Ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. Διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες· ξύλα δ᾿ ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. Οἱ οὖν πάλαι ἥκοντες καὶ τὸ πῦρ καίοντες οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο εἴ τι ἔχοιεν βρωτόν. Ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. Ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος βόθροι ἐγένοντο μεγάλοι ἔστε ἐπὶ τὸ δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος. Ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δ᾿ ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων ἠγνόει ὅ τι τὸ πάθος εἴη.

### Ασκήσεις

**1. πηγνὺς, προσίεσαν, μετεδίδοσαν, ἐγένοντο, ἔδοξεν:** να γράψετε το β ενικό πρόσωπο όλων των εγκλίσεων του ενεστώτα και του αορίστου στη φωνή που βρίσκεται ο καθένας από τους παραπάνω ρηματικούς τύπους.

**2. «Ἔνθα δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξεν λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος».** Να εντοπίσετε τα ουσιαστικά, τα επίθετα και τις αντωνυμίες της παραπάνω περίοδου λόγου και να γράψετε για το καθένα από αυτά την ίδια πτώση στον άλλο αριθμό (για τα επίθετα και τις αντωνυμίες να λάβετε υπόψη σας το γένος τους).